[illegible]

ἀπὸ τῆς Α. ἴσον ἐστὶ τὸ ΕΓ· τῷ δὲ ἀπὸ τῆς Β ἴσον
ἐστὶ τὸ ΓΖ· σύμμετρον ἄρα ἐστὶ τὸ ΕΓ τῷ ΓΖ. καὶ ἔστιν
ὡς τὸ ΕΓ πρὸς τὸ ΓΖ, οὕτως ἡ ΕΔ πρὸς τὴν ΔΖ· σύμ-
μετρος ἄρα ἐστὶν ἡ ΕΔ τῇ ΔΖ μήκει. ῥητὴ δέ ἐστιν
ἡ ΕΔ καὶ ἀσύμμετρος τῇ ΔΓ μήκει· ῥητὴ ἄρα ἐστὶ
καὶ ἡ ΔΖ καὶ ἀσύμμετρος τῇ ΔΓ μήκει· αἱ ΓΔ, ΔΖ ἄ-
ρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. ἡ δὲ τὸ ὑ-
πὸ ῥητῶν δυνάμει μόνον συμμέτρων ἡ δυναμένη
μέση ἐστίν· ἡ ἄρα τὸ ὑπὸ τῶν ΓΔ, ΔΖ δυναμένη μέση
ἐστί· καὶ δύναται τὸ ὑπὸ τῶν ΓΔ, ΔΖ ἡ Β· μέση ἄρα
ποι ἐστὶν ἡ Β. ἐκ δὴ τούτου φανερὸν ὅτι τὸ τῷ μέ-
σῳ χωρίῳ
σύμμετρον
μέσον ἐστί. δύ-
ναται γὰρ αὐ-
τὸ αἱ εὐθεῖαι,
αἵ εἰσι δυνάμει
σύμμετροι ὧν
ἡ ἑτέρα μέση·
ὥστε καὶ λοι-
πὴ μέση ἐστίν :-



Ὡσαύτως δὲ τοῖς ἐπὶ τῶν ῥητῶν ἐξηγημένοις καὶ
ἐπὶ τῶν μέσων ἐξακολουθεῖ τὴν τῇ μέσῃ μήκει
σύμμετρον λέγεσθαι μέσην καὶ σύμμετρον αὐτῇ μὴ
μόνον μήκει, ἀλλὰ καὶ δυνάμει· ἐπειδήπερ καθό-
λου αἱ μήκει σύμμετροι πάντως καὶ δυνάμει. ἐ-

[illegible]

ὰν δὲ τῇ μέσῃ σύμμετρός τις ᾖ δυνάμει μόνον, λέγονται
~~μέσαι~~ δυνάμει μόνον σύμμετροι.

Τὸ ὑπὸ μέσων μήκει συμμέτρων εὐθειῶν περιεχόμενον ὀρ-
θογώνιον, μέσον ἐστίν. ὑπὸ γὰρ μέσων μήκει συμμέ-
τρων εὐθειῶν τῶν ΑΒ, ΒΓ περιεχέσθω ὀρθογώνιον
τὸ ΑΓ· λέγω ὅτι τὸ ΑΓ μέσον ἐστίν. ἀναγεγράφθω γὰρ
ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔ· μέσον ἄρα ἐστὶ τὸ ΑΔ.
καὶ ἐπεὶ σύμμετρός ἐστιν ἡ ΑΒ τῇ ΒΓ μήκει· ἴση δὲ ἡ ΑΒ
τῇ ΒΔ· σύμμετρος
ἄρα ἐστὶ καὶ ἡ ΔΒ τῇ
ΒΓ μήκει· ὥστε καὶ
τὸ ΔΑ τῷ ΑΓ σύμ-
μετρόν ἐστι· μέσον
δὲ τὸ ΔΑ· μέσον ἄρα
καὶ τὸ ΑΓ· ὅπερ ἔδει
δεῖξαι :-



Τὸ ὑπὸ μέσων δυνάμει μόνον συμμέτρων εὐθειῶν περι-
εχόμενον ὀρθογώνιον, ἤτοι ῥητὸν ἢ μέσον ἐστίν·
ὑπὸ γὰρ μέσων δυνάμει μόνον συμμέτρων εὐθειῶν
τῶν ΑΒ, ΒΓ ὀρθογώνιον περιεχέσθω τὸ ΑΓ· λέγω
ὅτι τὸ ΑΓ ἤτοι ῥητὸν ἢ μέσον ἐστίν. ἀναγεγράφθω
γὰρ ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα τὰ ΑΔ, ΒΕ· μέσον
ἄρα ἐστὶν ἑκάτερον τῶν ΑΔ, ΒΕ. καὶ ἐκκείσθω ῥητὴ
ἡ ΖΗ· καὶ τῷ μὲν ΑΔ ἴσον παρὰ τὴν ΖΗ παραβε-
βλήσθω ὀρθογώνιον παραλληλόγραμμον τὸ ΗΘ,
πλάτος ποιοῦν τὴν ΖΘ· τῷ δὲ ΑΓ ἴσον παρα-

Ζητητέον δέ· πόθεν τὸ ΑΔ [illegible]
καὶ λέγομεν· ἐπεὶ [illegible]
χωρίον ὑπὸ εὐθειῶν ῥητῶν [illegible]
μόνον συμμέτρων ἐδείχ[illegible]
ὑπὸ ῥητῶν δυνάμει μόνον [illegible]
τρων περιεχόμενον ὀρθογώνιον [illegible]
ἡ δὲ δυναμένη αὐτὸ μέση· [illegible]
ΑΔ ἀπὸ τῆς μέσης ἀνεγράφη
ἄλλως.
πρὸ δὲ τὸ ΑΔ μέσον· οὐ [illegible]
ἡ ΒΑ μέση· καὶ ἡ ἴση τὸ ΑΔ [illegible]
δύναται ἢ ἄλογον ἢ ῥητὸν χωρίον [illegible]
ὥσπερ ἐπὶ τῶν ῥητῶν· τοῖς [illegible]
τοιαύτην ἀπορίαν· [illegible]
πάντως ἄλογον· οὐκ ἀνάγκη δὲ [illegible]
ἀνάλογον ἄλογον· τὸ δὲ [illegible]
πάντως ἄλογον· διὸ ἡ μέση δύνα[illegible]
χωρίον ὑπὸ ῥητῶν δυνάμει μόνον [illegible]
τρων· τὸ δὲ ὑπὸ ῥητῆς δυνάμει μόνον
μέτρων καὶ ἡ δυναμένη αὐτὸ [illegible]
καλείσθω δὲ μέση :-

[illegible]

[illegible]

[illegible]